κἂν τύχῃ σταθμῷ ὄντα αὐτῶν ἐλαφρότερα. A σημεῖον δὲ τῶν εἰρημένων· οἱ γὰρ πλεῖον βεβρωκότες καὶ πεπωκότες, ἔλαττον πονήσαντες ἢ νήστεις ὄντες, μᾶλλον κοπιῶσι, διὰ τὸ μὴ τὴν οἰκείαν χώραν ἔχειν τὰ σιτία, ὄντα ἄπεπτα. ἐπεὶ δὲ ὁ κόπος σύντηξιν ποιεῖ, ἡ δὲ σύντηξις περίττωμά ἐστι, τοῦτό ἐστιν ὃ τὸν κόπον ἐν ἡμῖν ποιεῖ, πλανώμενον ἀτάκτως, καὶ προσπίπτον ὀστοῖς τε καὶ νεύροις, καὶ τοῖς B ἐντὸς τῆς σαρκὸς ἀραιοῖς οὖσι καὶ ἀνεωγμένοις. ὁ οὖν ἔμετος, ἐξάγων αὐτὸ, αἴτιον ὂν τοῦ κόπου, ἀκόπους εἰκότως ποιεῖ. λείπει γὰρ οἷον ἦν ἐν ἀρχῇ τοῦ πόνου τὸ σῶμα. κοπῶδες δ' ἐστὶν ὁ ἔμετος, οὐ τῇ τῆς γινομένης ἐν αὐτῷ κινήσεως ὑπερβολῇ, ἀλλ' ὅταν συμβῇ μὴ καλῶς ἐξεμέσαι. ληφθέντων γὰρ πολλῶν σιτίων, καὶ περιττωμάτων τούτοις ἐνόντων, τὸν C τοῦ ἐμέτου κόπον γίνεσθαι συμβαίνει, καθάπερ ἐπὶ τῶν πεπληρωμένων εἴρηται. εἰ οὖν μηδ' ἐκείνοις ὁ πόνος ἐστὶ τοῦ κόπου αἴτιος, ἀλλὰ τὸ οὕτως ἔχοντας πονῆσαι, οὐδ' ἂν τοῖς μὴ ἐξαιροῦσι τὰ σιτία, ὁ ἔμετος εἴη τοῦ κόπου αἴτιος· ἐχρῆν γὰρ πᾶσι τοῖς ἐμοῦσι γίνεσθαι κόπον. γίνονται δὲ ἀκοπώτεροι πολλοὶ ἐμέσαντες. η Διὰ τί κοπιωδέστερόν ἐστι τῷ βραχίονι τὸ διὰ κενῆς ῥίπτειν, ἢ λιθάζοντα; ἢ ὅτι σπασματωδέστερον τὸ διὰ κενῆς D ἐστιν; οὐ γὰρ ἀπερείδεται πρὸς οὐδὲν, ὥσπερ ὁ βάλλων, πρὸς τὸ ἐν χειρὶ βέλος· ὁμοίως δὲ τούτου καὶ ὁ πένταθλος, πρὸς τοὺς ἁλτῆρας· καὶ θέων παρασείων, πρὸς τὰς χεῖρας. διὸ ὁ μὲν, μεῖζον ἅλλεται ἔχων, ἢ μὴ ἔχων ἁλτῆρας· ὁ δὲ, θᾶττον θεῖ παρασείων, ἢ μὴ παρασείων. θ Διὰ τί ἡ ταχυδρομία [καὶ] ἐπ' E ἀνθρώπου καὶ ἐπὶ τῶν ἄλλων ζώων νοσηματικοὺς ποιεῖ τὰ περὶ τὴν κεφαλήν, καίτοι ὅλως ὁ δρόμος κατασπᾶν δοκεῖ κάτω τὰ περιττώματα, ὥσπερ ὁ περίπατος· διὸ καὶ παχύνονται τὰ σκέλη οἱ πολλὰ περιπατοῦντες, ὅτι εἰς τὰ κάτω ὑπονοστεῖ ἄνωθεν καὶ ἡ τροφὴ καὶ τὰ περιττώματα. [ἢ] ἡ μὲν κίνησις ταὐτὸ ποιεῖ· ἀλλ' ἡ ταχεῖα, διὰ τὴν συντονίαν καὶ ἄπνευστίαν, ἐνθερμαίνει τὴν κεφαλὴν, καὶ τὰς φλέβας ἐμφυσᾷ τὰς ἐν αὐτῇ, καὶ F σπαστικὰς τῶν θύραθεν ποιεῖ δυνάμεων, οἷον ψύχους καὶ ἀλέας, καὶ τῶν ἐκ τοῦ θώρακος ἀνιόντων, νοσεῖν ἀναγκαῖον τὸν τόπον ἐστί.

A etiã si pondere leuiora illis esse cõtigerit. Argumentũ, quòd qui plus æquo vel ederint, vel biberint, hi minus quãuis laborarint, quàm ieiuni, grauius tamen fatigãtur: quoniã cibus locũ suũ nõ obtinet, vtpote qui adhuc maneat crudus. Cùm aũt fatigatio maceret atq. colliquefaciat, colliquamentũ autẽ nõnisi excrementũ sit, hoc est quod lassitudinem mouet, dum temerè vagatur, occursátque ossibus, & neruis, & B intimis carnis: quæ rara, soluta, patefactáque substant. Vomitus igitur cùm id extrudat, quod fatigationem inducit, meritò hominem recreat, liberátque à lassitudine: corpus enim quale principio fuerit tale restituit. Elaxat autem vomitus, non nimij motus ratione, sed si ita fuerit, vt non plenè agatur. Copia enim ciborum, quæ in ventriculo remanserit, & excrementa, quæ his incidant cibis, faciunt C vt lassitudo vomitum consequatur, quemadmodum in corporibus nimium impletis dictum iam est. Quod si nec illis causam lassescendi labor inferat, sed cùm ita sese haberent, laborarint, nec iis, qui non totum cibum eiecerint, vomitus causa foret lassescendi. Nam si hoc esset, haud erat quòd non omnibus euomentibus lassitudo incideret: nunc verò multi post, vbi euomuerunt, alacriores certè redduntur.

D 8 Cur laboriosius brachio est inanem iactasse manum, quàm cum lapide? An quod inani iactura brachium quasi conuellitur vehementius: nulla enim in re nititur, quemadmodum cùm mittit, missili obdito, fulcire se potest. Huic proximè saltans quoque pondusculis susceptis innititur. Et qui currit, manus obquatiens, se sustentat. Quamobrem ille plus prosilit halteres tenens, quàm non tenens: hic velocius currit manus obquatiens, quàm nõ E obquatiens. 9 Quam ob causam cursus velox tam in hominum genere, quàm in cæterorum animantium facit, vt capita à morbo tenentur? Quanquam cursus vnusquisque detrahere ad ima genus omne excrementorum putatur, vt ambulatio: quapropter crura eorum implentur, qui nimium ambulant, quoniam de parte superiore ad imam labitur & alimentum omne, & excrementum. An motus quidem vbique agere idẽ potest. Verùm mo- F tus velox, cùm vires intẽdit, & spiritũ retinet, caput concalfacit, eiúsque venas nimirũ inflat, & attrahẽtes reddit facultatis externæ, vt frigoris, vt caloris: adde quæ in pectore continẽtur. Nã ea quoq. attrahi resorberique inde credendum est. Quibus remissis, locum ægrotare illũ necesse est